Πᾶς δὲ ὁ ἀγωνιζόμενος ἐγκρατεύεται πάντα.

Horatius:

*Qui studet optatam cursu contingere metam*
*Multa tulit, fecitq; puer, sudavit & alsit,*
*Abstinuit Venere & Bacho.*

Epictetus: Μέλει σοι ὀλύμπια νικῆσαι; Κἀγὼ νὴ τὸν θεόν. Κομψὸν γάρ ἐστι. Ἀλλὰ σκόπει τὰ καθηγούμενα καὶ τὰ ἀκόλουθα, καὶ οὕτως ἅπτου τοῦ ἔργου. Δεῖ ὁ εὐτακτεῖν, ἀναγκοτροφεῖν, ἀπέχεσθαι πεμμάτων, γυμνάζεσθαι πρὸς ἀνάγκην ἐν ὥρᾳ τεταγμένῃ, ἐν καύματι, ἐν ψύχει, μὴ ψυχρὸν πίνειν, μὴ οἶνον ὡς ἔτυχεν· Ἁπλῶς ὡς ἰατρῷ ἐπιδιδόναι σεαυτὸν τῷ ἐπιστάτῃ. Latè idem exeqvitur Chrysostomus XXI. de statuis. Locum Tertulliani hac de re alii produxere. Vide Aristotelem Polit: VIII. 4. & Hesychium in ἀναγκοφαγεῖν. Utitur hoc argumento â certaminibus scenicis & eqvestribus ad virtutis certamen ducto: Philo qvoq; contra Flaccum libro.

Ἐκεῖνοι μὲν οὖν ἵνα φθαρτὸν στέφανον λάβωσιν.

Puta ex Oleastrô, aut piceâ, aut lauru. Philo: Ἀλλὰ γὰρ ὑπὲρ κοτίνων καὶ σελίνων εὐκλεὴς ἡ τελευτή. Σοφοῖς δὲ οὐ πολὺ μᾶλλον ἐλευθερίας, ἧς ὁ πόθος ψυχαῖς μόνον, εἰ δεῖ τἀληθὲς εἰπεῖν, ἐνίδρυται. Basilius: Ἐπεὶ δὲ στεφανιτῶν καὶ ἀθλητῶν ἐμνήσθην, ἐκεῖνοι μυρία παθόντες ἐπὶ μυρίοις, καὶ πολλαχόθεν τὴν ῥώμην ἑαυτοῖς συναυξήσαντες πολλὰ μὲν γυμναστικοῖς ἐνιδρώσαντες πόνοις. Πολλοὶ δὲ πληγὰς ἐκ παιδοτρίβου λαβόντες, δίαιταν δὲ οὐ τὴν ἡδίστην, ἀλλὰ τὴν παρὰ τῶν γυμναστῶν αἱρούμενοι, καὶ τἄλλα, ἵνα μὴ διατρίβειν λέγειν, οὕτω διάγοντες, ὡς τῶν πρὸ τῆς ἀγωνίας βίον, μελέτην εἶναι τῆς ἀγωνίας τηνικαῦτα ἀποδίδονται πρὸς τὸ στάδιον, καὶ πάντα ποιοῦσι, καὶ κινδυνεύουσιν, ὥστε κοτίνου λαβεῖν στέφανον, ἢ σελίνου, ἢ ἄλλου τινος τῶν τοιούτων. Eumenius: *An si fortissimi viri in sacris certaminibus summo labore atq; etiam vitæ periculo, solam vocem præconis & coronæ testimonium putant &c.* Et nota hæc scribi Corinthiis, apud qvos Isthmia agebantur.